STUDIEN UND BEITRÄGE
ZUR
ERKLÄRUNG UND ZEITBESTIMMUNG COMMODIANS

VON

DR. **JOSEF MARTIN**

NONNENSPIEGEL UND MÖNCHSSPIEGEL
DES
EUAGRIOS PONTIKOS

ZUM ERSTEN MALE IN DER URSCHRIFT

HERAUSGEGEBEN VON

D. DR. **HUGO GRESSMANN**
AO. PROFESSOR DER THEOLOGIE ZU BERLIN

LEIPZIG
J. C. HINRICHS'SCHE BUCHHANDLUNG
1913

TEXTE UND UNTERSUCHUNGEN

ZUR GESCHICHTE DER ALTCHRISTLICHEN LITERATUR

ARCHIV FÜR DIE VON DER KIRCHENVÄTER-COMMISSION
DER KGL. PREUSSISCHEN AKADEMIE DER WISSENSCHAFTEN UNTERNOMMENE
AUSGABE DER ÄLTEREN CHRISTLICHEN SCHRIFTSTELLER

HERAUSGEGEBEN VON

ADOLF HARNACK UND CARL SCHMIDT

3. REIHE 9. BAND HEFT 4

39. BAND HEFT 4

Druck von August Pries in Leipzig.

Nonnenspiegel und Mönchsspiegel des Euagrios Pontikos.

Von Hugo Greßmann.

Soeben hat Frankenberg in den „Abhandlungen der Königlichen Gesellschaft der Wissenschaften zu Göttingen, Philologisch-Historische Klasse, Neue Folge, Bd. XIII, Nr. 2, Berlin 1912" die Hauptwerke des Euagrios Pontikos in syrischer Übersetzung veröffentlicht. Durch ein zufälliges Zusammentreffen besitze ich fast das gesamte von Frankenberg gesammelte Material in eigenen Abschriften und Photographien. Einiges fehlt mir, aber dafür habe ich anderes, was von ihm nicht publiciert worden ist. Die Verwaltung der Altschassischen Stiftung in Kiel, der ich an dieser Stelle meinen tiefgefühlten Dank ausspreche, hat mir durch zweimalige Reisestipendien einen längeren Aufenthalt in London (Frühjahr 1903) und in Rom (Herbst 1905) ermöglicht, um die Hauptwerke des Euagrios Pontikos herauszugeben, auf die mich Herr Prof. D. Hans von Schubert hingewiesen hatte. Eine Orientreise führte mich im Frühjahr 1907 nach dem Athos, wo ich Muße hatte, meine Euagrios-Studien fortzusetzen. Doch hinderten mich bis jetzt neue Berufspflichten, diese Arbeiten zu vollenden. Um aber einen Teil meiner Dankesschuld abzutragen, benutze ich die Gelegenheit, zwei Schriften des Euagrios wieder im griechischen Original allgemein zugänglich zu machen.

1. Nonnenspiegel.

Die Echtheit der von mir der Kürze wegen „Nonnenspiegel" genannten Schrift ist nicht anzufechten. Hieronymus schreibt epist. CXXXIII ad Ctesiph.: *Evagrius Ponticus Iberita scribit ad virgines, scribit ad monachos.* Socrates nennt unter den

Werken des Euagrios Hist. eccl. IV 23: *στιχηρὰ δύο· ἓν πρὸς τοὺς ἐν τοῖς κοινοβίοις ἢ ἐν συνοδίαις μοναχοὺς καὶ ἓν πρὸς τὴν παρθένον.* Diese *στιχηρά* waren bisher nur in der lateinischen Übersetzung Rufins bekannt. Jetzt hat Frankenberg den Nonnenspiegel in syrischer Übersetzung mit griechischer Retroversion veröffentlicht. Ich habe nicht nur eine zweite syrische Übersetzung gefunden, sondern auch das griechische Original wieder entdeckt, leider nur in einer einzigen Handschrift des Vaticans.

Im Folgenden ist nicht einfach die griechische Überlieferung abgedruckt, sondern versucht worden, den Text mit Hilfe der beiden syrischen Versionen und der lateinischen Übersetzung, die sich gegenseitig controlieren, kritisch herzustellen. Am Schluß sind zwei dogmatische Zusätze als wahrscheinlich unecht ausgeschieden worden. In § 54 ist ein längeres Glaubensbekenntnis eingeschoben, das die kirchlichen Dogmen gegen Ketzereien schützen soll. Es ist ungefähr gleichlautend im Lateiner und Syrer zu lesen, fehlt aber noch im griechischen Manuscript. Sein fremder Ursprung wird zweitens dadurch bestätigt, daß es den Zusammenhang sprengt, und drittens dadurch, daß ihm die eigentümliche Form des Parallelismus membrorum fehlt, die für die übrigen Sprüche charakteristisch ist. In § 56 ist zu der Dreieinigkeit das unvermeidliche Prädicat des *ὁμοούσιος* hinzugefügt worden, das der Syrer noch nicht enthält.

Die benutzten Handschriften sind:

Ϡ = Barb. graec. 515 fol. 65b. Die handschriftliche Notiz im vaticanischen Katalog lautet: Codex membr. in 8⁰ signatus No. 62. Constat foliis 174 juxta alteram numerationem, quae primam corrigit, sed revera folia sunt 175; nam illud inter vigesimum sextum abiit inobservatum. Saec. XIII. Fol. 25 (bis) in margine inferiori latine legitur: Antonius Fannoxin. Fol. 96v in margine superiori graece legitur: (Haec) usque ad praesentem sermonem seu caput exscripta sunt a me, mense augusto, ind. an. 6752, i. e. a. c. n. 1244.“ Der Codex enthält Schriften des Basilius, Macarius, Maximus, Evagrius usw.

A (Syrische Übersetzung) = Brit. Mus. add. 14578 fol. 158b; vgl. Wright: Catalogue II S. 445 ff. Ediert von Frankenberg S. 562.

F (Syrische Übersetzung) = Vat. Sir. 126 fol. 250a; vgl. Assemani: Bibliothecae Vaticanae cod. manuscr. Catalogus, pars I tom. 3 S. 156ff. 172. Diese Handschrift enthält nur § 1—50 und ist noch nicht ediert. Die Übersetzung ist eine andere als die von A.

l (Lateinische Übersetzung Rufins) = Gallandi VII S. 580 = Migne, Series Graeca 40 Sp. 1283.

An Abkürzungen sind benutzt:

HS = Handschrift;

+ fügt hinzu;

< läßt aus;

∾ stellt um;

die kleinen hochgestellten Ziffern zählen die gleichlautenden Wörter.

Die Paragraphenzahlen stammen ebenso wie die Stichentrennung von mir.

Bei der Vergleichung der syrischen Übersetzungen (und der lateinischen Version) ist bisweilen ein „frei" hinzugefügt worden, um anzudeuten, daß nach meiner Überzeugung keine handschriftliche Variante des Urtextes in Betracht kommt. Da Singular und Plural im Syrischen oft nur durch diakritische Punkte zu unterscheiden sind, so ist in diesen Fällen eine Abweichung vom Urtext nicht notiert worden; ebensowenig bei den Suffixen, die nach der Eigenart der syrischen Sprache zahlreicher sind als im Griechischen. Abweichungen von der Übersetzung Frankenbergs sind nicht überall angemerkt worden, weil bisweilen eine verschiedene Auffassung möglich ist; eine Ausnahme ist nur an den wichtigsten Stellen gemacht worden oder da, wo Frankenberg sich nachweislich geirrt hat. Für den Zusatz in § 54 habe ich eine selbständige Retroversion versucht.

Den Herren Professoren D. Karl Holl und Dr. Eduard Norden danke ich auch öffentlich für ihre freundliche Hülfe durch Lesen der Correctur.

Λ 65b
A 158b
F 250a

Παραίνεσις πρὸς παρθένον.

1. *Ἀγάπα τὸν κύριον καὶ ἀγαπήσει σε,*
καὶ δούλευε αὐτῷ καὶ φωτιεῖ τὴν καρδίαν σου.
2. *Τίμα τὴν μητέρα σου ὡς μητέρα Χριστοῦ,*
καὶ μὴ παροξύνῃς πολιὰν τεκούσης σε.
3. *Ἀγάπα τὰς ἀδελφάς σου ὡς θυγατέρας μητρός σου,*
καὶ μὴ ἐγκαταλίπῃς ὁδὸν εἰρήνης.
4. *Ἀνατέλλων ὁ ἥλιος βλεπέτω τὸ βιβλίον ἐν ταῖς χερσί σου,*
καὶ μετὰ δευτέραν ὥραν τὸ ἔργον σου.
5. *Προσεύχου ἀδιαλείπτως,*
καὶ μέμνησο Χριστοῦ τοῦ γεννήσαντός σε.
6. *Συντυχίας ἀνδρῶν παραιτοῦ,*
ἵνα μὴ γένηται εἴδωλα ἐν σῇ ψυχῇ
καὶ ἔσται σοι πρόσκομμα ἐν καιρῷ προσευχῆς.
7. *Χριστὸν ἔχεις ἀγαπητόν·*
ἀπόρριψον ἀπό σου ἄνδρας ἅπαντας
καὶ οὐ μὴ βιώσῃς ἐπονείδιστον βίον.
8. *Θυμὸν καὶ ὀργὴν μακρὰν ποίησον ἀπό σου,*
καὶ μνησικακία μὴ αὐλιζέσθω ἐν σοι.

Λ 66a

9. *Μὴ εἴπῃς· σήμερον βρώσομαι καὶ αὔριον οὐ ‖ βρώσομαι,*
ὅτι οὐκ ἐν φρονήσει ποιεῖς τοῦτο.
ἔσται γὰρ βλάβη τῷ σώματί σου
καὶ ὀδύνη τῷ στομάχῳ σου.
10. *Ἐσθίειν κρέα οὐ καλὸν καὶ πίνειν οἶνον οὐκ ἀγαθόν,*
προσφέρειν δὲ χρὴ ταῦτα ταῖς ἀσθενούσαις.

Überschrift] *ἐπιστολὴ περὶ παρθένου* (vielleicht besser zu lesen *παρθενείας* = ܐܬܪܬܐ) A „Von demselben Abbas Euagrios *παραίνεσις πρὸς παρθένον*“ F eiusdem Evagrii Monachi sententiae ad virgines l.

1 *κν̄*] *Χριστὸν* F | *καὶ*[2] < F | **2** *καὶ τίμα* F | *τεκούσης*] *τεκοῦσαν* im Syrer sprachlich möglich, sachlich unwahrscheinlich; vgl. Mönchsspiegel § 88 | **3** *σου*[1] < A | **4** *βλεπέτω*] *βλεπέσθω* A *εὑρέτω* F + „haltend“ F frei | *ἐν*] *ἐπὶ* A frei | *μετὰ δύο ὥρας* A F frei | *ὥραν* + „nahe dich“ F frei | **6** *συντυχίας*] *ὄψεως* A frei | *εἴδωλα*] *εἴδωλον* l + *αὐτῶν* A frei + *ἄτοπα* F frei | *ψυχῇ*] *καρδίᾳ* A | lies *οὐκ ἔσται*? Vgl. Mönchsspiegel § 15. 38. 62 | *προσκόμματα* F | **7** ∼ *ἔχεις Χ.* F | *ἐπονίδιστον* Λ | **9** *εἴπεις* Λ | *σήμερον βρώσομαι καὶ αὔριον οὐ βρώσομαι* A F l] *σήμερον οὐ βρόσομαι* (sic) *καὶ αὔριον βρόσωμαι* (sic) Λ | „denn nicht ist dies Sache des Wissens“ F frei | *βλάβη* F l] *βασανισμός* A frei (*ἀνάγκη* Frankenberg falsch) | *ἐν τῷ σώματι* A F frei | *ἐν τῷ στομάχῳ* F frei | **10** *καλὸν*] *ἀγαθὸν* A l | *οὐκ ἀγαθόν* F] *οὐ καλὸν* A l *οὐ καλὸν οὔτε μὴ ἀγαθόν* Λ | *προσφέρεσθαι* A frei | ∼ *ταῦτα δὲ χ. πρ.* A | *τοῖς ἀσθενοῦσιν* F

11. *Παρθένος θρασεῖα οὐ σωθήσεται*
καὶ σπαταλῶσα οὐκ ὄψεται τὸν νυμφίον αὐτῆς.
12. *Μὴ εἴπῃς, ὅτι λελύπηκέ με ἡ θεραπαινὶς καὶ τίσομαι αὐτήν,*
διότι οὐκ ἔστιν δουλεία ἐν θυγατράσι θεοῦ.
13. *Μὴ δῷς ἀκοήν σου λόγοις ματαίοις,*
καὶ διηγήματα γραῶν φεῦγε κυκλευουσῶν.
14. *Ἑορτὰς μεθύσων μὴ ἴδῃς,*
καὶ εἰς γάμους ἀλλοτρίων μὴ εἰσέλθῃς.
ἀκάθαρτος γὰρ παρὰ κυρίῳ πᾶσα παρθένος ποιοῦσα ταῦτα. A 159a
15. *Ἄνοιγε σὸν στόμα λόγῳ θεοῦ,*
καὶ κώλυε ἀπὸ πολυλογίας τὴν γλῶσσαν σου.
16. *Ἔναντι κυρίου ταπείνου σεαυτήν,*
καὶ ὑψώσει σε ἡ δεξιὰ αὐτοῦ.
17. *Μὴ ἀποστρέφου πένητα ἐν καιρῷ θλίψεως,*
καὶ οὐ λείψει ἔλαιον ἐν τῇ λαμπάδι σου.
18. *Πάντα ποίει διὰ τὸν κύριον,* F 250b
καὶ μὴ ζήτει παρὰ ἀνθρώπων δόξαν,
ὅτι δόξα ἀνθρώπων ὡς ἄνθος χόρτου,
δόξα δὲ κυρίου μένει εἰς τὸν αἰῶνα.
19. *Παρθένον πραεῖαν ἀγαπᾷ ὁ κύριος,*
παρθένος δὲ ὀργίλος μισηθήσεται.
20. *Ὑπακούουσα παρθένος ἐλεηθήσεται,*
ἡ δὲ ἀντιλέ||γουσα ἰσχυρῶς ἄφρων. A 66b
21. *Γόγγυσον παρθένον ἀπολεῖ κύριος,*
τὴν δὲ εὐχάριστον ῥύσεται ἐκ θανάτου.
22. *Αἰσχρὸν γέλως καὶ ἐπονείδιστον ἀναισχυντία,*
πᾶσα δὲ ἄφρων τοῖς τοιούτοις συμπλέκεται.

11 *σωθήσεται*] „lebt" F frei + „vom Tode" A frei | **12** *ὅτι* < A frei | ∾ *ἡ θερ. λελ. με* A (Frankenberg falsch) | *ἡ θεραπαινίς* doppelt F | *δουλεία* „Sklavin" F mißverstanden | **13** *λόγοις* A F l] *λογισμοῖς* A | *διηγήματα*] „törichtes Geschwätz" F frei | *γραῶν* und *κυκλευουσῶν* A l < F (Frankenberg falsch) | **14** *μεθύσων*] „der Dämonen" A F | *ἀλλοτρίου* l *ἀλλοτρίους* F | *ἀπέλθῃς* A F l (vielleicht besser) | *παρὰ κυρίῳ*] *ἔναντι κυρίου* A F | **15** „durch das Wort" F „durch die Worte" A | ∾ *τ. γλ. σου ἀ. πολ.* F ∾ *ἀ. πολ. κωλ.* A | **16** ∾ *ταπ. σε. ἐν. κυρ.* A | *κυρίου*] *θεοῦ* l | *τῇ δεξιᾷ* A | **17** *ἔλεον* A | *ἐν* < A l | **18** *πάντα* + „was du tust" F frei | *κύριον*] *θεόν* F | ∾ *δόξαν παρὰ ἀνθρώπων* A F | *ὅτι* + *πᾶσα* F | *ἀνθρώπων*[2]] *ἀνθρώπου* A l | *κυρίου*] *θεοῦ* A | **19** *κύριος*] *θεός* A | *παρθένος* < F | *μισηθήσεται* + „von ihm" A frei | **20** *ἰσχυρῶς* < F | **21** *εὐχάριστον* A F („dankbar") l | **22** *ἐπωνείδηστον* (sic) A | *συμπλέκετε* HS

23. *Ἡ καλλωπίζουσα ἱμάτια αὐτῆς*
καὶ σωφροσύνης ἐκτὸς ἔσται.
24. *Μὴ συναυλίζου κοσμικαῖς,*
ἵνα μὴ διαστρέψωσι σὴν καρδίαν
καὶ ἀκύρους ποιήσωσι βουλὰς δικαίας.
25. *Δάκρυσιν ἐν νυκτὶ παρακάλει τὸν κύριον,*
καὶ μηδεὶς αἴσθηται προσευχομένης σου καὶ εὑρήσεις χάριν.
26. *Ἐπιθυμία περιπάτων καὶ πόθος οἰκιῶν ἀλλοτρίων*
ἀνατρέπει κατάστασιν ψυχῆς καὶ διαφθείρει προθυμίαν [αὐτῆς.
27. *Πιστὴ παρθένος οὐ δειλιάσει.*
ἡ δὲ ἄπιστος φεύξεται καὶ τὴν σκιὰν αὐτῆς.
28. *Φθόνος τήκει ψυχήν,*
καὶ ζῆλος κατεσθίει αὐτήν.
29. *Καταφρονοῦσα τῆς ἀδελφῆς τῆς ἀσθενούσης*
καὶ τοῦ Χριστοῦ μακρὰν ἔσται.
30. *Μὴ εἴπῃς· ἐμὸν τοῦτο καὶ σὸν τοῦτο.*
ἐν γὰρ Χριστῷ Ἰησοῦ τὰ πάντα κοινά.
31. *Οὐ περιεργάσῃ ζωὴν ἀλλοτρίαν,*
καὶ πτώματι ἀδελφῆς σου οὐκ ἐπιχαρήσῃ.
32. *Ἐπάρκει δεομέναις παρθένοις,*
καὶ ἐπὶ εὐγενείᾳ σου μὴ ἐπαίρου.
33. *Μὴ προενέγκῃς λόγον ἐκ στόματός σου ἐν ἐκκλησίᾳ κυρίου,*
καὶ μὴ μετεωρίσῃς τοὺς ὀφθαλμούς σου.
A 67a *ὁ γὰρ κύριος γινώσκει σὴν καρδίαν,*
καὶ πάντας τοὺς διαλογισμούς σου σκοπεύει.
A 159b 34. *Πᾶσαν κακὴν ἐπιθυμίαν ἄπωσαι ἀπό σου,*
καὶ οὐ μὴ λυπήσωσίν σε οἱ ἐχθροί σου.

23 *ἡ* + *δὲ* A F (aber große Interpunktion F) | *καὶ* < A | 24 *νέαις* A (aber lies ܒܢܝܐ wie F = *κοσμικαῖς*) | *βουλάς* + *σου* A F frei | *δικαίας*· *ἁγίας* A | 25 *ἐν νυξὶ* A F frei | ∼ *ἐν νυξὶ δάκρ.* A | *κύριόν* + *σου* F frei | *ἔσθηται* A | *καὶ*² + *οὕτω* A | *χάριν* + *ἔναντι θεοῦ* A | 26 < A | *περιπάτων* „Vergnügungen" F frei | *οἰκιῶν ἀλλοτρίων* F l] *οἰκίων καὶ ἀλλοτρίων* A | *ψυχῆς* + *σου* F | 27 *οὐ*] *οὐδὲν* F | 28 *τήκει*] *βασανίζει* A frei | *κατεσθίει*] *κατεσθείη* A „erniedrigt" oder „bezwingt" A | 29 *ἔσται*] *ἐστι* A „sehr weit" F | 30 *καὶ*] *ἢ* F | *γὰρ*] *δὲ* F | *χῳ*] *κυρίῳ* F | *ἰησοῦ* < A | 31 *περιεργάσι* A | *ἀλλοτρίας* l *ἀλλοτρίων* A | 32 *ἐπάρκει* + *δὲ* l | *παρθένοις*] *ἀδελφαῖς σου* F | *εὐγενείᾳ*] „Geschlecht" A frei | 33 „Nicht gehe ein Wort hervor" A F frei | *κυρίου*] *θεοῦ* A | *ὀφθαλμούς σου* + „hierhin und dorthin" F frei | 34 *πάσας κακὰς ἐπιθυμίας* A | *πᾶσαν* < F | ∼ *ἄπωσαι ἀπό σου κακ. ἐπιθ.* F

35. *Ψάλλε ἀπὸ καρδίας σου,*
καὶ μὴ κίνει μόνον τὴν γλῶσσαν σου ἐν τῷ στόματί σου.
36. *Ἄφρων παρθένος ἀγαπήσει ἀργύριον,*
ἡ δὲ φρονίμη προσθήσει καὶ τὸν ψωμὸν αὐτῆς.
37. *Ὥσπερ ὁρμὴ πυρὸς δυσκάθεκτος,*
οὕτως ψυχὴ παρθένου τρωθεῖσα δυσίατος.
38. *Μὴ δώῃς τὴν ψυχήν σου διαλογισμοῖς πονηροῖς,*
ἵνα μὴ μιάνωσι σὴν καρδίαν
καὶ καθαρὰν προσευχὴν μακρὰν ποιήσωσι ἀπό σου.
39. *Βαρεῖα λύπη καὶ ἀνυπόστατος ἀκηδία,*
δάκρυα δὲ πρὸς θεὸν ἰσχυρότερα ἀμφοτέρων.
40. *Λιμὸς καὶ δίψα μαραίνει ἐπιθυμίας κακάς,*
ἀγρυπνία δὲ ἀγαθὴ καθαίρει διάνοιαν.
41. *Ὀργὴν καὶ θυμὸν ἀποστρέφει ἀγάπη,*
μνησικακίαν δὲ ἀνατρέπει δῶρα.
42. *Ἡ καταλαλοῦσα λάθρα τῆς ἀδελφῆς αὐτῆς*
ἐξωσθήσεται τοῦ νυμφῶνος,
καὶ βοήσεται πρὸς ταῖς θύραις αὐτοῦ
καὶ οὐκ ἔσται ὁ ὑπακούων.
43. *Παρθένου ἀνελέημονος σβεσθήσεται λαμπάς,*
καὶ οὐ μὴ ἴδῃ προελθόντα τὸν νυμφίον αὐτῆς.
44. *Ὕαλος προσπίπτων λίθῳ συντριβήσεται,*
καὶ παρθένος ἁπτομένη ἀνδρὸς οὐκ ἀθωωθήσεται.
45. *Κρείσσων|| γυνὴ πραεῖα* Λ 67b
παρθένου ὀργίλου καὶ θυμώδους.

35 *ψάλε* Λ | *ἀπὸ* + *πάσης* F | *κείνει μόνον* HS] *βαττολόγει* A frei | *ἐν τῷ στόμ. σου* < A l | 36 *δὲ* + *παρθένος* F | *φρονήμη* Λ | *καὶ* < A | *αὐτῆς* < A | „auch von ihrer Speise gibt sie Anderen" F frei | 37 ∾ *δυσκ. ὁρ. πυρ.* A | *δυσκάθεκτος*] „schwer zu umzingeln" (*κυκλόω*) A, aber lies ܡܚܘܪܐ | *οὕτως*] *οὗτος* Λ | *τρωθεῖσα* + „durch den Pfeil der Lust" F frei | 38 *καθαρὰς προσευχὰς* A | *ποιήσουσ̈* Λ die beiden letzten Buchstaben auf Rasur | ∾ *μακρ. ποιη. α. σου καθ. πρ.* F | 39 *ἀκηδία* + „von ihr" (infolge der Trauer) A | *πρὸς θεὸν*] *ἐνώπιον θεοῦ* A | 40 *μαραίνει*] „vernichten" A frei | *ἀγαθὴ*] *καθαρὰ* A | 41 *ἀποστρέφη* Λ | *δῶρον* A | 42 *καταλαλοῦσα*] „verleumdet" A „sich überhebt" (ܡܬܪܡܡܐ, aber lies ܡܬܪܡܡܐ = „verleumdet") F | *λάθρα* < A F | *ἀδελφῆς*] „Genossin" A | *ἐξωσθήσεται*] *ἔξω στήσεται* l | 43 *παρθένου* A (Frankenberg falsch) F l | *ἀνελέημονος* + *ῥᾳδίως* F | *αὐτῆς* < A F | 44 *ὕαλος* A F l *βέλος προσπίπτων* (sic) Λ | 45 *γυνὴ*] *κοσμικὴ* F (vgl. Mönchsspiegel § 34) + *εὐχάριστος καὶ* F | *ὀργήλου* Λ

46. Ἡ ἐξέλκουσα ἐν γέλωτι λόγους ἀνδρός,
ὁμοία ἐστὶν τῇ περιβαλλούσῃ βρόχον τῷ ἑαυτῆς τραχήλῳ.
47. Ὥσπερ μαργαρίτης ἐν σφενδόνῃ χρυσῇ,
οὕτως παρθένος καλυπτομένη ὑπὸ αἰδοῦς.
48. Ὠιδαὶ δαιμόνων καὶ αὐλοὶ ἐκλύουσιν ψυχὴν
καὶ ἀπολλύουσιν εὐτονίαν αὐτῆς,
ἣν φύλαξον διὰ παντός,
ἵνα μὴ ἐπονείδιστος γένῃ.
49. Μὴ τέρπου ἐπὶ γελοίοις,
καὶ ἐπισκωπτούσαις μὴ εὐφραίνου,
ὅτι κύριος ἐγκατέλιπεν αὐτάς.
50. Οὐκ ἐξουδενώσεις τὴν ἀδελφήν σου ἐσθίουσαν
καὶ ἐπὶ ἐγκρατείᾳ σου μὴ ἐπαρθῇς.
οὐ γὰρ οἶδας, τί βεβούλευται ὁ κύριος
ἢ τίς στήσεται ἐνώπιον αὐτοῦ.
51. Ἡ οἰκτείρουσα πελιδνουμένους τοὺς ὀφθαλμοὺς
καὶ τηκομένας τὰς σάρκας αὐτῆς,
οὐκ εὐφρανθήσεται ἐπὶ ἀπαθείᾳ ψυχῆς.
A 160a 52. Βαρεῖα ἐγκράτεια καὶ δυσκατόρθωτος ἁγνεία,
ἀλλ' οὐδὲν γλυκύτερον τοῦ ἐπουρανίου νυμφίου.
53. Ψυχαὶ παρθένων φωτισθήσονται,
ψυχαὶ δὲ ἀκαθάρτων ὄψονται σκότος.
54. Εἶδον ἄνδρας φθείροντας παρθένους ἐν δόγμασι
καὶ ματαίαν ποιοῦντας τὴν παρθενείαν αὐτῶν.
σὺ δὲ ἄκουε, τέκνον, δογμάτων ἐκκλησίας κυρίου,

46 ἐν γέλωτι] „mit Scherzworten“ F | λόγους] λογισμὸν oder λογισμοὺς A | ἀνδρὸς + „zu sich“ F | βρόχων Λ | 47 σφενδόνῃ] „Krone“ A frei | χρυσῇ] „aus goldenen Ringen“ F | 48 ὠδὲ Λ | αὐλοὶ A (Frankenberg falsch) F l | ἣν φύλαξον] „hüte dich vor diesen Dingen“ A „du mußt dich hüten“ F mißverstanden | ἐπωνίδηστος (sic) Λ | 49 γελίοις Λ] „Worte des Gelächters“ F | ἐπισκοπτούσαις Λ] „die es (das Scherzen) nicht lieben“ A „an eitlem Geschwätz“ (ܒܛܝܦܘܬܐ lies ܒܛܝܠܘܬܐ) F frei | ἐγκατέλιπεν] „hat verworfen“ A | αὐτὰς + ἁπάσας F | 50 ἐξουδενούσεις, über δ ein θ geschrieben Λ | τί βεβούλευται] „die Pläne“ A | κύριος] θεὸς A | 51 von hier an fehlt F | πελιδνουμένους + „vom Nachtwachen“ A | τὴν σάρκα A | αὐτῆς + „vom Fasten“ A | ἀπαθείᾳ] πιότητι A frei | 52 ἐγκράτεια] „Bezwingung der Seele“ A frei | 53 ἀκάθαρτοι A (frei oder ”? zu lesen) | 54 δόγμασι] φοβήτροις („Ketzereien“) αἰσχροῖς A frei + αὐτῶν A l | τέκνον] θύγατερ A l | δογμάτων] „Wahrheitsworte des Glaubens“ A frei

καὶ μηδεὶς ἀλλότριος μεταπείσῃ σε.
δίκαιοι γὰρ κληρονομήσουσι φῶς, ‖ A 68a
ἀσεβεῖς δὲ οἰκήσουσι σκότος.
55. *Παρθένοι ὀφθαλμοὶ ὄψονται κύριον.*
ἀκοαὶ δὲ παρθένων ἀκούσονται λόγων αὐτοῦ.
παρθένων στόμα φιλήσει νυμφίον αὐτοῦ.
ὄσφρησις δὲ παρθένων ἐπ' ὀσμὴν μύρων αὐτοῦ δραμεῖται.
χεῖρες παρθένοι ψηλαφήσουσι κύριον,
καὶ ἁγνεία σαρκὸς εὐπρόσδεκτος ἔσται.
παρθένος ψυχὴ στεφανωθήσεται,
καὶ μετὰ τοῦ νυμφίου αὐτῆς βιώσεται διὰ παντός.
ἔνδυμα πνευματικὸν δοθήσεται αὐτῇ,
καὶ μετὰ ἀγγέλων ἐν οὐρανοῖς ἑορτάσει.
ἄσβεστον ἀνάψει λαμπάδα,
καὶ ἔλαιον οὐ λείψει ἐν τοῖς ἀγγείοις αὐτῆς.
λήψεται πλοῦτον αἰώνιον,
καὶ κληρονομήσει βασιλείαν τὴν τοῦ θεοῦ.
56. *Οἱ ἐμοὶ λόγοι, τέκνον, εἴρηνται πρός σε,*
τὰ δὲ ἐμὰ ῥήματα τηρείτω σὴ καρδία.
μέμνησο Χριστοῦ τοῦ φυλάσσοντός σε,
καὶ μὴ ἐπιλάθῃ τῆς προσκυνητῆς τριάδος.

54 *ἀλλότριος* < A | *μεταπείσῃ*] *πείσῃ* l „abwendig machen“ A frei | *σε* + *θεὸς καθίδρυσεν τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ διοικεῖ πάντα καὶ εὐφραίνεται* (lies ⲭⲁⲙⲁⲗⲉ) *ἐν αὐτοῖς.* (+ *καὶ* l) *οὐκ ἔστιν ἄγγελος ἀμήχανος εἰς τὸ κακὸν* (+ „wenn er will“ A) *καὶ οὐκ ἔστι δαίμων φύσει κακός. ἀμφοτέρους γὰρ προαιρετικοὺς ἐποίησε θεός* („denn siehe beide machte der Herr und gab ihnen Willensfreiheit“ A frei, nur *κύριος* Variante). *ὥσπερ ὁ ἄνθρωπος ἐκ σώματος φθαρτοῦ καὶ ψυχῆς ὑφέστηκε λογικῆς, οὕτως καὶ ὁ κύριος ἡμῶν ἐγεννήθη χωρὶς ἁμαρτίας, ἐσθίων ἤσθιε καὶ σταυρώμενος ἐσταυρώθη, καὶ οὐ φαντασία* („wie ein Schatten“ A) *ἐφάνη τοῖς ἀνθρώποις. ἔσται ἀνάστασις νεκρῶν καὶ ὁ κόσμος οὗτος παρελεύσεται καὶ ἡμεῖς πνευματικὰ ἐνδυσόμεθα σώματα* A l | *γὰρ* < A | **55** *παρθένοι*[1]] *παρθένου* l | *κύριον*] *θεόν* l | *παρθένων*[1]] *παρθένου* l < A | *ἀκούσωνται* Λ | *παρθένων*[2]] *παρθένος* A *παρθένου* l | *αὐτοῦ*[2] < A | *παρθένων*[3]] *παρθένος* A | *ὄσφρησις — δραμεῖται*] „die jungfräuliche Nase wird seinen lieblichen Geruch atmen“ A frei | *χεῖρες*] *χείραις* Λ | *παρθένοι*[2]] *παρθένου* l | *εὐπρόσδεκτος*] *προσδεκτός* A l | *ἔσται* + *αὐτῷ* l | *καὶ μετὰ*[2]] *μετὰ* A | *ἑορτάσει*] „wird ihren Herrn loben“ A frei | *ἄσβεστον — λαμπάδα* auch A (Frankenberg falsch) | *ἔλεον* Λ | *τῷ ἀγγείῳ* A | *τοῦ θεοῦ*] *τῶν οὐρανῶν* A | **56** *τέκνον*] *θύγατερ* A l | *προσκυνητῆς*] *ἁγίας* A + *καὶ ὁμοουσίου* Λ l.

2. Mönchsspiegel.

Die Echtheit dieser von mir „Mönchsspiegel" genannten Schrift ist ebensogut bezeugt wie die des Nonnenspiegels (vgl. oben S. 1). Beide Werke ergänzen sich gegenseitig: das eine für die Mönche, das andere für die Nonnen bestimmt. Die Sprache ist dieselbe: kurze, körnige Ausdrucksweise mit auffallender Aversion gegen den Artikel. Die Form ist hier wie dort identisch: die Neigung zum Parallelismus membrorum und zur antithetischen Formulierung, wie in der hebräischen Spruchliteratur. Dieselben Gedanken kehren wieder, zum Teil sogar mit wörtlicher Bedeutung, so daß die Texte einander controlieren; vgl. M(önchsspiegel) 15 mit N(onnenspiegel) 6 und M 34 mit N 45. An der Identität des Verfassers kann demnach kein Zweifel sein.

Bisher war nur die lateinische Übersetzung Rufins bekannt. Den griechischen Urtext habe ich in mehreren Handschriften wiedergefunden. Unter diesen Manuscripten enthält 𝔅 zahlreiche Schreibfehler und orthographische Incorrectheiten, die nur zum Teil angemerkt worden sind. Z. B. § 1 *δέξασθαι, διδάξηται*, 3 *γνώσης* (statt *γνῶσις*), 4 *διατηρείσει, ἐνισχύση*, 5 *δοξάσοι*, 7 *σοφροσύνης*, 8 *καθείρει, ἐκταράση*, 9 *χιλιωστός*, 11 *εἴδης, σβέννυσιν*, 12 *πτωηθήσεται, ὁ δὲ πραεῖς*, 14 *λυπήση*, 15 *παροξυνῆσαι, ἔστι* (statt *ἔσται*) *κτλ.* Zur Feststellung des Textes ist außerdem eine syrische Übersetzung herangezogen worden.

Die benutzten Handschriften sind folgende:

𝔄 = Barb. graec. 515 fol. 50b; vgl. o. S. 2. Diese Handschrift umfaßt nur § 1—133.

𝔅 = Vat. graec. 703 fol. 252b—255a; XIV.—XV. Jahrhundert. Diese Handschrift reicht von § 1—126 (*ἀνόμων*).

ℭ = Athos Protatou 26 fol. 13b; vgl. P. Lambros: Catalogue of the Greek Manuscr. on Mount Athos 26 (vol. I S. 5), von Lambros ins IX. Jahrhundert gesetzt, gehört aber wahrscheinlicher ins XII. Jahrhundert.

𝔇 = Athos Russikon 635 fol. 81a; vgl. Lambros 6142 (vol. II. S. 407). XVII. Jahrhundert.

𝔈 = Ottob. Graec. 486 fol. 110b; vgl. Bibliotheca apost. Vat. Cod. Graeci Ottob. S. 241. XV. Jahrhundert. Diese Handschrift enthält nur § 39.

F (syrische Übersetzung) = Vat. Sir. 126 fol. 236b; vgl. o. S. 2f.

l (lateinische Übersetzung) = Gallandi VII S. 578 = Migne, Series Graeca 40 Sp. 1277.

Über Abkürzungen und anderes vgl. o. S. 3.

Πρὸς τοὺς ἐν κοινοβίοις ἢ συνοδίαις μοναχούς. Λ 50b Β 252b C 13b D 81a F 236b

1. *Κληρονόμοι θεοῦ ἀκούσατε λόγων θεοῦ,*
συγκληρονόμοι δὲ Χριστοῦ δέξασθε ῥήσεις Χριστοῦ,
ἵνα δῶτε αὐτὰς καρδίαις τέκνων ὑμῶν,
λόγους δὲ σοφῶν διδάξητε αὐτούς.
2. *Πατὴρ ἀγαθὸς παιδεύει υἱοὺς αὐτοῦ,*
πατὴρ δὲ πονηρὸς ἀπολέσει αὐτούς.
3. *Πίστις ἀρχὴ ἀγάπης,*
τέλος δὲ ἀγάπης γνῶσις θεοῦ.
4. *Φόβος κυρίου διατηρήσει* ‖ *ψυχήν,* C 14a
ἐγκράτεια δὲ ἀγαθὴ ἐνισχύσει αὐτήν.
5. *Ὑπομονὴ ἀνδρὸς τίκτει ἐλπίδα,*
ἐλπὶς δὲ ἀγαθὴ δοξάσει αὐτόν.
6. *Ὁ δουλαγωγῶν σάρκας αὐτοῦ ἀπαθὴς ἔσται,*
ὁ δὲ ἐκτρέφων αὐτὰς ὀδυνηθήσεται ἐπ᾽ αὐταῖς.
7. *Πνεῦμα πορνείας ἐν σώμασιν ἀκρατῶν,*
πνεῦμα δὲ σωφροσύνης ἐν ψυχαῖς ἐγκρατῶν.
8. *Ἀναχώρησις ἐν ἀγάπῃ καθαίρει καρδίαν,*
ἀναχώρησις δὲ μετὰ μίσους ἐκταράσσει αὐτήν.
9. *Κρείσσων χιλιοστὸς ἐν ἀγάπῃ*
ἢ μόνος μετὰ μίσους ἐν ἀδύτοις σπηλαίοις.

Überschrift D | *ἢ*] *καὶ* l + *ἐν* C | *ἢ συνοδίαις* < F („Wiederum eine Ermahnung desselben heiligen Abbas Euagrios: An die Brüder, die gemeinsam im Kloster wohnen") | *πρὸς — μοναχούς*] *εὐαγρίου ἃ κεφάλαια διάφορα ψυχωφελῆ* Λ *συμβουλείαι εἰς μοναχοὺς τοὺς θέλοντας σωθῆναι καταμόνας καὶ ἐν κοινοβίῳ* Β

1 *δὲ*[1] < Λ | *Χριστοῦ*[1] + *Ἰησοῦ* F | *δέξασθαι* Β | *Χριστοῦ*[2] | *θεοῦ* CD | *αὐτὰς*] *αὐταῖς* Β | *καρδίᾳ* F | *διδάξηται* Β | **2** *πατὴρ*[1] — *αὐτοῦ* < F | *δὲ*] *γὰρ* F | *ἀπολέγει* Β | **3** *δὲ* < Β | **6** *σάρκα*. . . *αὐτὴν* . . . *αὐτῇ* F | **7** *πορνείας* + „weilt" F frei | *ἐν σώματι ἀκρατεῖ* F | *πνεῦμα*[2] — *ἐγκρατῶν* < F | **8** *μετὰ ἀγάπης* l „infolge von Liebe" F | „infolge von Haß" F | **9** *κρεῖσσον* ΛΒC | „in Haß" F | *ἐν ἀδύτοις σπηλαίοις*] *ἐν ἀδ. καὶ σπηλαίοις* l *ἐν ἀδύτοις σπηλαίων* Β < F

10. Ὁ ἐναποδεσμεύων μνησικακίαν ἐν ψυχῇ αὐτοῦ
ὅμοιός ἐστι τῷ κρύπτοντι πῦρ ἐν ἀχύροις.
Λ 51a 11. Μὴ δῷς βρώματα ‖ πολλὰ τῷ σώματί σου,
Ϋ 81b καὶ οὐ μὴ ἴδῃς καθ᾽ ὕπνους ‖ φαντασίας κακάς.
ὃν τρόπον γὰρ φλὸξ καταναλίσκει δρυμόν,
οὕτω φαντασίας αἰσχρὰς σβέννυσι πεῖνα.
12. Ἀνὴρ θυμώδης πτοηθήσεται,
ὁ δὲ πραΰς ἄφοβος ἔσται.
13. Ἄνεμος σφοδρὸς ἀποδιώκει νέφη,
μνησικακία δὲ τὸν νοῦν ἀπὸ γνώσεως.
14. Ὁ προσευχόμενος ὑπὲρ ἐχθρῶν ἀμνησίκακος ἔσται,
Ϲ 14b φειδόμενος δὲ γλώσσης ‖ οὐ λυπήσει τὸν πλησίον αὐτοῦ.
15. Ἐὰν παροξύνῃ σε ὁ ἀδελφός σου,
εἰσάγαγε αὐτὸν εἰς τὸν οἶκόν σου,
καὶ πρὸς αὐτὸν μὴ ὀκνήσῃς εἰσελθεῖν,
ἀλλὰ φάγε τὸν ψωμόν σου μετ᾽ αὐτοῦ.
τοῦτο γὰρ ποιῶν ῥύσῃ σὴν ψυχὴν
καὶ οὐκ ἔσται σοι πρόσκομμα ἐν καιρῷ προσευχῆς.
F 237a 16. Ὥσπερ ἡ ἀγάπη χαίρει ‖ πενίᾳ,
οὕτω τὸ μῖσος τέρπεται πλούτῳ.
17. Οὐκ ἐπιτεύξεται πλούσιος γνώσεως
καὶ κάμηλος οὐκ εἰσελεύσεται εἰς ὀπὴν ῥαφίδος,
ἀλλ᾽ οὐδὲν τούτων ἀδυνατήσει παρὰ κυρίῳ.
18. Ὁ φιλῶν ἀργύριον οὐκ ὄψεται γνῶσιν,
καὶ ὁ συνάγων αὐτὸ σκοτισθήσεται.
19. Ἐν σκηναῖς ταπεινῶν αὐλισθήσεται κύριος,
Λ 51b ἐν οἴκοις δὲ ὑπερηφάνων πλη‖θυνθήσονται ἀραί.
20. Ἀτιμάζει θεὸν ὁ παραβαίνων νόμον αὐτοῦ,
ὁ δὲ φυλάσσων αὐτὸν δοξάζει τὸν ποιήσαντα αὐτόν.

10 μνησικακίαν] κακίαν Ϲ | κρυπτὸν Ϲ | 11 φλὸξ — δρυμόν] extinguit flammam aqua l | οὕτως Λ | σβέννυσιν Ϲ | 12 δὲ + ἀνὴρ F | 13 „Wie . . . so“ F | νοῦν + ἡμῶν F frei | 14 ἔσται] ἐστὶ F l | αὐτοῦ < Ϲ | 15 προσευχῆς + καὶ (∾) ῥύσῃ σὴν ψυχήν F | ἔσται] ἔστι (sic) Ϲ | 16 πενίαν Ϲ | 17 οὐκ[1]] „schwerlich“ F | γνώσεως] + ἀληθοῦς Ϲ + θεοῦ F | καὶ κάμηλος οὐκ] „wie es schwer ist, daß ein Kamel“ F | κυρίῳ] θεῷ F | 18 οὐκ ὄψεται γνῶσιν] ταραχὴν ἕξει (ἕξῃ HS) πολλὴν Ϲ | αὐτὸ < Ϲ | 19 σκηνῇ F | αὐλισθήσεται] ἀναπαύεται Ϲ | πληθυνθήσονται] πλησθήσονται Ϲ | multiplicabitur maledictum l | 20 αὐτοῦ < F | ὁ δὲ — αὐτόν < Ϲ | αὐτὸν] τὸν νόμον F | δοξάσει Λ

21. Ἐὰν ζηλώσῃς Χριστόν, γενήσῃ μακαριστός, 𝔇 82a
τὸν δὲ θάνατον αὐτοῦ ἀποθανεῖται ἡ ψυχή σου,
καὶ οὐ μὴ ἐπισπάσηται ἀπὸ σαρκὸς αὐτῆς κακίαν.
ἀλλ' ἔσται ἡ ἔξοδός σου ὡς ἔξοδος ἀστέρος,
καὶ ἡ ἀνάστασίς σου ὥσπερ ὁ ἥλιος ἐκλάμψει. ‖ 𝔈 15a
22. Οὐαὶ ἀνόμῳ ἐν ἡμέρᾳ θανάτου,
καὶ ἄδικος ὀλεῖται ἐν καιρῷ πονηρῷ.
ὃν τρόπον γὰρ ἀφίπταται κόραξ ἐκ τῆς αὐτοῦ νοσσιᾶς,
οὕτως ἀκάθαρτος ψυχὴ ἐκ τοῦ ἰδίου σώματος.
23. Ψυχὰς δικαίων ὁδηγοῦσιν ἄγγελοι,
ψυχὰς δὲ πονηρῶν παραλήψονται δαίμονες.
24. Οὗ ἐὰν εἰσέλθῃ κακία, ἐκεῖ καὶ ἀγνωσία,
καρδίαι δὲ ὁσίων πληρωθήσονται γνώσεως.
25. Ἀνελεήμων μοναχὸς ἐνδεὴς ἔσται,
διατρέφων δὲ πτωχοὺς κληρονομήσει θησαυρούς.
26. Κρείσσων πενία μετὰ γνώσεως
ἢ πλοῦτος μετὰ ἀγνωσίας. 𝔄 52a
27. Κόσμος κεφαλῆς στέφανος,
κόσμος δὲ καρδίας γνῶσις θεοῦ.
28. Κτῆσαι γνῶσιν καὶ μὴ ἀργύριον
καὶ σοφίαν ὑπὲρ πλοῦτον πολύν.
29. Δίκαιοι κληρονομήσουσι κύριον,
ὅσιοι δὲ τραφήσονται ὑπ' αὐτοῦ.
30. Ὁ ἐλεῶν πένητας διαφθείρει θυμόν,
καὶ ὁ διατρέφων αὐτοὺς πλησθήσεται ἀγαθῶν.
31. Ἐν καρδίᾳ πραείᾳ ἀναπαύσεται σοφία,
θρόνος δὲ ἀπαθείας ψυχὴ πρακτική.
32. Τέκτονες πονηρῶν λήψονται μισθὸν ‖ κακόν, 𝔇 82b
τέκτοσι δὲ ἀγαθῶν δοθήσεται μισθὸς ἀγαθός.
33. Ὁ τιθεὶς παγίδα ‖ συλληφθήσεται ἐν αὐτῇ 𝔈 15b
καὶ ὁ κρύπτων αὐτὴν ἁλώσεται ὑπ' αὐτῆς.

21 δὲ < 𝔅 | ἐπισπάσῃ F l | ∾ αὐτῆς ἀπὸ σαρκὸς 𝔇 ἀπὸ σαρκός σου l „zum (ἐπὶ) Bösen des Fleisches“ F | ὡς] „herrlicher als“ F | ἀστέρων F | ὥσπερ] ὡς 𝔅 | ὁ < 𝔅 | 22 οὐαὶ + δὲ 𝔅 | καὶ + ὁ 𝔅 | ἀδίκως (sic) 𝔄 | ἀφίσταται 𝔅𝔈𝔇F | 23 ὁδηγοῦσι 𝔅 | παραλείψονται 𝔅 | 24 κακίαν 𝔅 | καρδία... πληρωθήσεται F | 25 μοναχὸς < 𝔅𝔈𝔇 | κληρονομήσῃ 𝔅 | 26 κρεῖσσον 𝔅 | 29 κληρονομήσουσιν 𝔅 | ὑπ'] ἀπ' 𝔅𝔈𝔇 | 31 ἀναπαύεται l | δὲ < F | ψυχὴ πρακτική] „das Tun der Gebote“ F anima bene operans l | 32 τέκτονες + δὲ F | τέκτοσι — ἀγαθός < 𝔅 | ἀγαθῶν] ἀγαθοῖς 𝔄𝔈𝔇 | 33 τιθεὶς] κρύπτων F | κρύπτων] τιθεὶς F

34. *Κρείσσων κοσμικὸς πραΰς*
μοναχοῦ θυμώδους καὶ ὀργίλου.
35. *Γνῶσιν διασκορπίζει θυμός,*
μακροθυμία δὲ συνάγει αὐτήν
36. *Ὥσπερ νότος ἰσχυρὸς ἐν πελάγει*
οὕτως θυμὸς ἐν καρδίᾳ ἀνδρός.
37. *Ὁ προσευχόμενος συνεχῶς ἐκφεύγει πειρασμούς,*
ἀμελοῦντος δὲ καρδίαν ἐκταράσσουσι λογισμοί.
38. *Μὴ εὐφραινέτω σε οἶνος*
καὶ μὴ τερπέτω σε κρέας,
ἵνα μὴ διαθρέψῃς σάρκας σώματός σου,
καὶ λογισμοὶ αἰσχροὶ οὐκ ἐκλείψουσιν ἀπό σου.
Є 110b Ϡ 52b 39. *Μὴ εἴπῃς· σήμερον ‖ ἑορτὴ καὶ πίομαι οἶνον,*
καὶ αὔριον πεντηκοστὴ καὶ φάγομαι κρέα,
διότι οὐκ ἔστιν ἑορτὴ παρὰ μοναχοῖς
οὐδὲ τὸ πλῆσαι ἄνθρωπον κοιλίαν αὐτοῦ.
40. *Πάσχα κυρίου διάβασις ἀπὸ κακίας,*
πεντηκοστὴ δὲ αὐτοῦ ἀνάστασις ψυχῆς.
41. *Ἑορτὴ θεοῦ ἀμνηστία κακῶν,*
τὸν δὲ μνησικακοῦντα λήψονται πένθη.
42. *Πεντηκοστὴ κυρίου ἀνάστασις ἀγάπης,*
ὁ δὲ μισῶν τὸν ἀδελφὸν αὐτοῦ πεσεῖται πτῶμα
Ð 83a 43. *Ἑορτὴ θεοῦ γνῶ‖σις ἀληθής,* [*ἐξαίσιον.*
Є 16a *ὁ δὲ προσέχων γνώ‖σει ψευδεῖ τελευτήσει αἰσχρῶς.*
44. *Κρείσσων νηστεία μετὰ καθαρᾶς καρδίας*
ὑπὲρ ἑορτὴν ἐν ἀκαθαρσίᾳ ψυχῆς.
45. *Ὁ διαφθείρων λογισμοὺς κακοὺς ἀπὸ καρδίας αὐτοῦ*

34 *κρεῖσσον* Ϡ | *ἡ μοναχὸς θυμώδης καὶ ὀργίλος* Ϡ | **36** *οὕτω* Ϡ + *ἰσχυρὸς* F | *ἀνδρὸς*] *μοναχοῦ* Ϡ | **37** *ἀμελοῦντος δὲ καρδίαν*] *ἀμελοῦντα δὲ* F | **38** *μὴ*[1] — *κρέας*] *μὴ ὀσφρανέτω* (*ὠσφρανέτω* HS) *οἶνον, ὦ μοναχέ, καὶ μὴ τερπέτωσάν σε ἰχθύες* (*ἰχθείαις* HS) Ϡ | *ἵνα* < l | *διαθρέψῃς*] *θρέψῃς* Ϡ | *οὐκ ἐκλείψουσιν*] *ἐκλίπωσι* l | **39** *καὶ*[1] < F | *πίωμαι* Є *πίωμεν* Ϡ l | *καὶ*[3] < F | *φάγωμαι* Є *φάγωμεν* Ϡ | *κρέα*] *ἰχθύας* (*ἰχθείας* HS) Ϡ | *διότι* — *μοναχοῖς* < Ϡ | *μοναχῷ* Ϡ + *ἐν γῇ* F | *οὐδὲ*] *ἐν γῇ* l | *οὐδὲ* — *πλῆσαι*] *οὐ τὸ ἐμπλῆσαι* Ϡ Є | *ἄνθρωπον* < F l | *αὐτοῦ*] *αὐτῶν* F | **40** *κυρίου*] *Χριστοῦ* F l + *ἀλλ' ἡ* Ϡ | *αὐτοῦ*] *τοῦ Χριστοῦ* F | *ψυχῆς*] + *καὶ ἀγάπης. ὁ δὲ μισῶν κτλ.* (wie 42) Ϡ + 42 l | **41** *λείψονται* Ϡ | *λήψεται πένθος* F l | **42** < Ϡ l (doch cf. 40) | *κυρίου*] *θεοῦ* F | *δὲ* < Ϡ | **43** < Ϡ Ϡ | *γνῶσις* + *θεοῦ* Ð | **44** *κρεῖσσον* Ϡ Є | **45** *κακοὺς* < Ϡ | ∾ *αὐτοῦ ἀπὸ καρδίας* Ϡ | *νήπια* < Ϡ | *αὐτοῦ*[2] < F l

ὅμοιός ἐστι τῷ ἐδαφίζοντι τὰ νήπια αὐτοῦ πρὸς τὴν
46. *Μοναχὸς ὑπνώδης ἐμπεσεῖται εἰς κακά.* [*πέτραν.*
ὁ δὲ ἀγρυπνῶν ὡς στρουθίον ἔσται.
47. *Μὴ δῷς σεαυτὸν ἐν ἀγρυπνίᾳ διηγήμασι κενοῖς*
καὶ μὴ ἀπώσῃ λόγους πνευματικούς.
ὅτι κύριος σκοπεύει σὴν ψυχὴν
καὶ οὐ μὴ ἀθωώσῃ σε ἀπὸ παντὸς κακοῦ.
48. *Ὕπνος πολὺς παχύνει διάνοιαν,*
ἀγρυπνία δὲ ἀγαθὴ λεπτύνει αὐτήν.
49. *Ὕπνος πολὺς ἐπάγει πειρασμούς,*
ὁ δὲ ἀγρυπνῶν ἐκφεύ‖ξεται αὐτούς. ‖ Λ 53a F 237b
50. *Ὥσπερ πῦρ τήκει κηρόν,*
οὕτως ἀγρυπνία ἀγαθὴ λογισμοὺς πονηρούς.
51. *Κρείσσων ἀνὴρ καθεύδων*
ἢ μοναχὸς ἀγρυπνῶν περὶ λογισμοὺς ματαίους.
52. *Ἐνύπνιον ἀγγελικὸν εὐφραίνει καρδίαν,*
ἐνύπνιον δὲ δαιμονιῶδες ἐκταράσσει αὐτήν.
53. *Μετάνοια καὶ ταπείνωσις ἀνώρθωσαν ψυχήν,*
ἐλεημοσύνη δὲ καὶ πραΰτης ἐστήριξαν αὐτήν.
54. *Μέμνησο διὰ παντὸς σῆς ἐξόδου*
καὶ μὴ ἐπιλάθῃ κρίσεως αἰωνίας, ‖ D 83b
καὶ οὐκ ἔσται πλημμέλεια ‖ *ἐν ψυχῇ σου.* C 16b
55. *Ἐὰν πνεῦμα ἀκηδίας ἀναβῇ ἐπί σε, οἶκόν σου μὴ ἀφῇς*
καὶ μὴ ἐκκλίνῃς ἐν καιρῷ πάλιν ἐπωφελεῖ.
ὃν τρόπον γὰρ εἴ τις λευκάνοι ἄργυρον,
οὕτως λαμπρυνθήσεται ἡ καρδία σου.
56. *Πνεῦμα ἀκηδίας ἀπελαύνει δάκρυα,*
πνεῦμα δὲ λύπης συντρίβει προσευχήν.

46 *στρουθεῖον* B | 47 *διηγήμασιν καινοῖς* B | *ἀπώσῃ* + „von dir“ F | *σκοπεύσει* B | *ψυχὴν*] *καρδίαν* l | *ἀθωώσῃ σε*] *ἀθωωθήσει* B | 48 < F | *διάνοιαν*] *καρδίαν* l | *αὐτήν*] *διάνοιαν* l | 49 *ὑπάγει* D | 50 *πονηρούς*] *τῆς ψυχῆς* F | 51 *κρεῖττον* B | *ἀνὴρ καθεύδων*] *καθεύδων τις* B *κοσμικὸς καθ.* F | 52 *ἀγγελικὸν*] *πνευματικὸν* F | *δὲ* < B | *δαιμονιῶδες*] *δαιμονῶδες* Λ *δαιμονικὸν* B *σαρκικὸν* F | 53] ∾ 54. 53 B C D | 54 *σῆς ἐξόδου*] patris tui l | *αἰωνίου* B | *ἐν* + *τῇ* B D | 55 *πᾶν πνεῦμα ἀκηδίας ἐὰν ἀναβᾷ* (*πᾶν* scheint corrigiert aus *ἐὰν*) Λ | *ἐπὶ*] *πρὸς* (am Rande *ἐπὶ*) D | *οἶκόν σου*] *σὴν κέλλαν* B F | *κλίνῃς* Λ | *ἐν — ἐπωφελεῖ*] in tempore tristitiae l | *ἐπωφελῇ* B D | *ὃν — σου* < B | *ἀργύριον* D „Rost“ F | *οὕτω* D | *σου*² + si perseveraris l

57. Ἐπιθυμῶν χρημάτων μεριμνήσεις πολλά,
καὶ ἀντεχόμενος αὐτῶν πενθήσεις πικρῶς.
58. Μὴ χρονιζέτω σκορπίος ἐν κόλπῳ σου
καὶ λογισμὸς πονηρὸς ἐν καρδίᾳ σου.
59. Κτείνειν γεννήματα ὀφέων μὴ φείσῃ,
καὶ μὴ ὠδίνῃς λογισμοὺς καρδίας αὐτῶν.
60. Ὥσπερ ἀργύριον καὶ χρυσίον δοκιμάζει πῦρ,
οὕτως καρδίαν μοναχοῦ πειρασμοί.
61. Περίελε σεαυτοῦ ὑπερηφανίαν
Λ 53b καὶ κενοδοξίαν ‖ μακρὰν ποίησον ἀπό σου.
ὁ γὰρ ἀποτυχὼν δόξης λυπηθήσεται,
ὁ δὲ ἐπιτυχὼν ὑπερήφανος ἔσται.
62. Μὴ δῷς ὑπερηφανίᾳ σὴν καρδίαν
Ꞓ 17a καὶ ‖ μὴ εἴπῃς πρὸ προσώπου τοῦ θεοῦ· δυνατός εἰμι,
Ꝺ 84a ἵνα μὴ ‖ κύριος ἐγκαταλίπῃ σὴν ψυχήν,
καὶ πονηροὶ δαίμονες ταπεινώσουσιν αὐτήν.
τότε γάρ σε δι᾽ ἀέρος πτοήσουσιν οἱ ἐχθροί,
νύκτες δὲ φοβεραὶ διαδέξονταί σε.
63. Πολιτείαν μοναχοῦ διαφυλάττει γνῶσις,
ὁ δὲ καταβαίνων ἀπὸ γνώσεως περιπεσεῖται λῃσταῖς.
64. Ἐκ πέτρας πνευματικῆς ἀπορρεῖ ποταμός,
ψυχὴ δὲ πρακτικὴ πίεται ἀπ᾽ αὐτοῦ.
65. Σκεῦος ἐκλογῆς ψυχὴ καθαρά,
ἡ δὲ ἀκάθαρτος πλησθήσεται πικρίας.
66. Ἄνευ γάλακτος οὐ τραφήσεται παιδίον,
καὶ χωρὶς ἀπαθείας οὐχ ὑψωθήσεται καρδία.
67. Πρὸ ἀγάπης ἡγεῖται ἀπάθεια
πρὸ δὲ γνώσεως ἀγάπη.

57 ἀντεχόμενος αὐτῶν] „wer festhält an seiner Liebe“ F | 58—61 < Ꞓ | καὶ] sic nec l | 59 < Λ Ꞓ | κτείνειν γεννήματα] γεννήματος F | καὶ — αὐτῶν] „so zeuge (vernichte?) die bösen Gedanken in deinem Herzen“ F (besser ἐν καρδίᾳ σου?) | 60 ὥσπερ + γὰρ l | ∾ χρυσίον κ. ἀργ. l | οὕτω Ꞓ Ꝺ | 62 θεοῦ] κυρίου l | ἐγκαταλίψει Ꞓ ἐγκαταλείπῃ Ꝺ | σὴν ψυχὴν] σὲ F | αὐτὴν] σὲ F | δι᾽ ἀέρος πτοήσουσιν] διὰ μέρους ποιήσουσιν Ꝺ | τότε — διαδέξονταί σε < Ꞓ | μοναχοῦ + τοῦ μὴ πίνειν (ποίνειν HS) οἶνον Ꞓ | διαφυλάττει — λῃσταῖς < Ꞓ | καταβαίνων] καταφρονῶν Ꝺ | 64 πρακτικὴ] bene agens l „Werke vollendend“ F | 65 πλησθήσεται — 66 γάλακτος < Ꞓ | 66 παιδία Ꞓ | ἀπαθείας] „Vollendung von Werken“ (= πρακτικῆς cf. 64) F

68. *Γνώσει προστίθεται σοφία,*
ἀπάθειαν δὲ τίκτει φρόνησις.
69. *Φόβος κυρίου γεννᾷ φρόνησιν,*
πίστις δὲ Χριστοῦ ‖ δωρεῖται φόβον θεοῦ. Λ 54a
70. *Βέλος πεπυρωμένον ἀνάπτει ψυχήν,*
ἀνὴρ δὲ πρακτικὸς κατασβέσει αὐτό.
71. *Κραυγὴν καὶ βλασφημίαν ἀποστρέφεται γνῶσις,*
λόγους δὲ δολίους φεύγει σοφία.
72. *Ἡδὺ μέλι καὶ γλυκὺ κηρίον,*
γνῶσις δὲ θεοῦ γλυκυτέρα ‖ ἀμφοτέρων. Ꞓ 17b
73. *Ἄκουε, μοναχέ, λόγους πατρός σου*
καὶ μὴ ἀκύρους ποίει νουθεσίας αὐτοῦ.
Ἡνίκα ἂν ἀποστείλῃ σε, ἐπάγου αὐτὸν
καὶ κατὰ διάνοιαν συνόδευε αὐτῷ.
τούτῳ γὰρ τῷ ‖ τρόπῳ διαφεύξῃ λογισμοὺς κακούς, Ꝑ 84b
καὶ πονηροὶ δαίμονες οὐκ ἰσχύσουσι κατά σου.
ἐὰν πιστεύσῃ σοι ἀργύριον, οὐ διασκορπιεῖς αὐτό,
καὶ κἂν ἐπεργάσῃ, ἀποδώσεις αὐτό.
74. *Πονηρὸς οἰκονόμος ἐκθλίψει ψυχὰς ἀδελφῶν,*
καὶ μνησίκακος οὐκ ἐλεήσει αὐτάς.
75. *Ὁ διασκορπίζων τὰ ὑπάρχοντα τῆς μονῆς ἀδικεῖ θεόν,*
καὶ ὁ ἀμελῶν αὐτῶν οὐκ ἀτιμώρητος ἔσται.
76. *Ἄδικος οἰκονόμος διαμεριεῖ κακῶς,*
ὁ δὲ δίκαιος πρὸς ἀξίαν δώσει.
77. *Ὁ κακολογῶν τὸν ἀδελφὸν αὐτοῦ ἐξολοθρευθήσεται,*
ἀμελῶν δὲ ἀσθενοῦντος οὐκ ὄψεται φῶς.

68 *γνώσει — σοφία* < ß | *ἀπάθειαν*] „Vollendung“ (= *πρακτικὴν* cf. 64. 66) F | **69** *δωρεῖται*] *γεννᾷ ἡμῖν* F | **70** *πεπυρωμένον* + *λόγων* ß | *πρακτικὸς*] „der in guten Werken ist“ F operator boni l | *αὐτό*] *αὐτῷ* ß | **71. 72** < ß | **71** *κραυγὴ καὶ βλασφημία ἀποστρέφονται γνῶσιν* F | **73** *ἀποστείλῃ*] *στήλει* ß | *σε* + *που* ßF | *ἐπάγου — αὐτῷ*] „so werden sie (die Worte des Vaters) mit dir gehen und dich in deinem Sinn begleiten“ F frei obaudi ei et quantum ad mentem comitere cum eo l | *ἐπάγου αὐτῷ* ß | *συνώδευε* Λ | *συνόδευε αὐτόν* ß | *ἰσχίουσι* ß | *ἐὰν πιστεύσῃ — ἀποδώσεις αὐτό* < Λ | *πιστεύσει* ß | *διασκορπίσεις αὐτῷ* ß | *καὶ κἂν — αὐτό* < Λß | **74** *μνησίκακος* + *ταξιάρχης* ß | *αὐτούς* ß | **75** *ὁ*[1]] *ἡγούμενος* ß | *τῆς* < Ꞓꝑ | *θεὸν* + *καὶ τὴν ἑαυτοῦ ψυχήν* ß | *αὐτῶν*] *ἀδελφῶν ψυχάς* ß *τῶν ὑπαρχόντων* F frei | **76** *οἰκονόμος*] *ἡγούμενος* ß | *πρὸς ἀξίαν* < F | *δώσει* + *ἑκάστῳ τὸ πρόσφορον* ßF | **77** *τὸν* < ß | *ἀμελῶν δὲ ἀσθενοῦντος*] *ὁ παραβλέπων ἀσθενῆ* ß

78. *Κρείσσων κοσμικὸς ἐν ἀσθενείᾳ δουλεύων ἀδελφῷ*
ὑπὲρ ἀναχωρητὴν μὴ οἰκτείροντα τὸν πλησίον αὐτοῦ.
Λ 54b 79. *Ἄφρων* ‖ *μοναχὸς ἀμελήσει ὀργάνων τέχνης αὐτοῦ,*
ὁ δὲ φρόνιμος ἐπιμελήσεται αὐτῶν.
80. *Μὴ εἴπῃς· σήμερον μενῶ καὶ αὔριον ἐξελεύσομαι,*
Ꞓ 18a *ὅτι οὐκ ἐν φρονήσει* ‖ *λελόγισαι περὶ τούτου.*
81. *Κυκλευτὴς μοναχὸς μελετήσει ῥήσεις ψευδεῖς,*
τὸν δὲ ἑαυτοῦ παραλογίσεται πατέρα.
82. *Ὁ καλλωπίζων τὰ ἱμάτια αὐτοῦ καὶ πληρῶν γαστέρα αὐτοῦ*
F 238a *ποιμαίνει λογισμοὺς* ‖ *αἰσχροὺς*
καὶ μετὰ σωφρόνων οὐ συνεδριάζει.
Ð 85a 83. *Ἐὰν εἰσέλθῃς εἰς κώμην, μὴ προσεγγίσῃς γυναιξὶ*
καὶ μὴ χρονίσῃς ἐν λόγοις πρὸς αὐτάς.
ὃν τρόπον γὰρ εἴ τις ἄγκιστρον καταπίοι,
οὕτως ἑλκυσθήσεται ἡ ψυχή σου.
84. *Μακρόθυμος μοναχὸς ἀγαπηθήσεται,*
ὁ δὲ παροξύνων τοὺς ἀδελφοὺς αὐτοῦ μισηθήσεται.
85. *Πραῦν μοναχὸν ἀγαπᾷ ὁ κύριος,*
τὸν δὲ θρασὺν ἀπώσεται ἀπ' αὐτοῦ.
86. *Ὀκνηρὸς μοναχὸς γογγύσει πολλά,*
καὶ ὑπνώδης προφασίσεται κεφαλαλγίαν αὐτοῦ.
87. *Ἐὰν λυπῆται ὁ ἀδελφός σου, παρακάλεσον αὐτόν,*
καὶ ἐὰν ἀλγῇ, συνάλγησον αὐτῷ.
Λ 55a *τοῦτο γὰρ ποιῶν εὐφραίνεις καρδίαν αὐτοῦ,*
καὶ θησαυρὸν μέγαν σωρεύσεις ἐν οὐρανῷ.
88. *Μοναχὸς ἀπολειπόμενος φυλάξαι λόγους πατρὸς*
βλασφημήσει πολιὰν γεννήσαντος αὐτὸν

78 *κρεῖσσον* Ꞓ Ꞓ | *ἀδελφῷ*] *ἀδελφὸν* Λ + *αὐτοῦ* Ꞓ *θεῷ* („sich fürchtend vor Gott") F | *ὑπὲρ — αὐτοῦ*] *ἢ ἀναχωρητὴς* (*ἀναχωρητὶς* HS) *μὴ ἐλεῶν* (*ἐλεοῦντος* HS) *τὸν ἑαυτοῦ ἀδελφόν* Ꞓ | *οἰκτειροῦντα* (sic) Ꞓ | 79 *ὀργάνων τέχνης*] *τοῦ ἐνδύματος* (*ἐνδήματος* HS) Ꞓ | *αὐτῶν*] *αὐτῷ καταρράπτων* (*καταράπτων* HS) Ꞓ | 80 *ἐξελεύσομαι* + *τῆς κέλης* (sic) Ꞓ | 81 *παραλογήσεται* Ꞓ Ꞓ | 82 *καλλοπίζων* Ꞓ Ꞓ | *συνεδριάσει* Λ l | 83 *γυναικὶ* Ꞓ | *ἐν — αὐτάς*] „bei ihren Worten" F | *καταπίῃ* Λ *καταπίει* Ꞓ Ꞓ | *ἑλκυσθήσεται*] *ἐκλυθήσεται* Λ | *σου*] *ὑπ' αὐτῆς* Ꞓ + *πρὸς αὐτάς* F | 84 *ἀγαπηθήσεται*] *ἀπαθείᾳ εὐφρανθήσεται* l | 84 *ὁ δὲ — 85 κύριος*] *ὑπὸ πολλῶν καὶ πραῦς* (*πραεῖς* HS) *ὑπὸ κυρίου* Ꞓ | 85 *τὸν δὲ* + *μοναχὸν* F frei | 86 *προφασίσεται* + *διὰ παντὸς* F | 87 *ἐὰν*[1] — *αὐτόν* < F | *καὶ ἐὰν* + *ἀληθῶς* F | *σωρεύσεις* + *σοι* F l | 88 < Ꞓ

καὶ κακολογήσει ‖ βίους τέκνων αὐτοῦ, ℭ 18b
ὁ δὲ κύριος ἐξουδενώσει αὐτόν.

89. Ὁ πρόφασιν ζητῶν χωρίζεται ἀδελφῶν,
τὸν δὲ ἑαυτοῦ αἰτιάσεται πατέρα.

90. Μὴ δῷς ἀκοὴν λόγοις κατὰ πατρός σου
καὶ μὴ διεγείρῃς ψυχὴν ἀτιμάζοντος αὐτόν,
ἵνα μὴ κύριος ὀργισθῇ ἐπὶ ποιήμασι σου
καὶ ἐξαλείψῃ σου τὸ ὄνομα ἐκ βίβλου ζώντων.

91. Ὁ ὑπακούων πατρὶ ἑαυτοῦ ἀγαπᾷ ἑαυτόν,
ὁ δὲ ἀντιλέγων αὐτῷ ἐμπεσεῖται εἰς κακά.

92. Μακάριος μοναχὸς ὁ ‖ φυλάσσων ἐντολὰς κυρίου 𝔇 85b
καὶ ὅσιος ὁ διατηρῶν λόγους πατέρων αὐτοῦ.

93. Ὀκνηρὸς μοναχὸς πολλὰ ζημιωθήσεται,
ἐὰν δὲ θαρσύνηται καὶ τὸ σχῆμα αὐτοῦ προσθήσει.

94. Ὁ φυλάσσων γλῶσσαν αὐτοῦ ὀρθοτομεῖ τὰς ὁδοὺς αὐτοῦ,
καὶ ὁ τηρῶν καρδίαν αὐτοῦ πλησθήσεται γνώσεως.

95. Μοναχὸς δίγλωσσος ταράσσει ἀδελφούς,
ὁ δὲ πιστὸς ἡσυχίαν ἄγει.

96. Ὁ πεποιθὼς ἐπὶ ἐγκρατείᾳ αὐτοῦ πεσεῖται,
ὁ δὲ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται. 𝔄 55b

97. Μὴ δῷς σεαυτὸν χορτασίᾳ κοιλίας,
καὶ μὴ πλησθῇς ὕπνου νυκτερινοῦ.
τούτῳ γὰρ τῷ τρόπῳ γενήσῃ καθαρὸς
καὶ πνεῦμα κυρίου ἐπελεύσεται ἐπί σε. ‖ ℭ 19a

98. Ψάλλοντος ἡσυχάζει θυμὸς
καὶ μακροθυμοῦντος ἀπτόητος ἔσται.

99. Ἐκ πραΰτητος τίκτεται γνῶσις,
ἐκ δὲ θρασύτητος ἀγνωσία.

100. Ὥσπερ ὕδωρ αὔξει φυτόν,
οὕτως ταπείνωσις θυμοῦ καρδίαν ὑψοῖ.

101. Ἰχνεύοντος συμπόσια σβεσθήσεται λαμπτήρ,
ἡ δὲ ψυχὴ αὐτοῦ ὄψεται σκότος.

89 < 𝔅 | **90** ἀκοὴν λόγοις] ἀκούειν λόγους 𝔄 | ποιήματι F | ζόντως 𝔅 | **91** πατρὸς 𝔅 ℭ 𝔇 | ἑαυτοῦ] τῆς μονῆς l | ἀγαπᾷ ἑαυτόν] ἀγαπηθήσεται ὑπ' αὐτοῦ 𝔅 | πεσεῖται 𝔅 | **92** ὁ² < 𝔅 | πατέρων] πατρὸς 𝔅 | **93** ἐὰν — προσθήσει < 𝔅 | θρασύνηται ℭ 𝔇 | καὶ < F | προσθήσει] + perdere l + „zu seinem Schaden" F | **94** τὴν ὁδὸν F | **95** πιστὸς] σύνετος 𝔅 | **96** ἐγκράτειαν 𝔅 | **97** σεαυτῷ χορτασίαν 𝔄 | τρόπῳ + ποιῶν 𝔅 | **99** γνῶσις] ἀγάπη 𝔅 | **100** οὕτω 𝔅 ℭ 𝔇

102. *Στῆσον ζυγῷ τὸν ἄρτον σου καὶ πίε μέτρῳ τὸ ὕδωρ σου*
καὶ πνεῦμα πορνείας φεύξεται ἀπό σου.

103. *Δὸς γέρουσιν οἶνον καὶ ἀσθενοῦσι πρόσφερε τροφάς,*
διότι κατέτριψαν σάρκας νεότητος αὐτῶν.

Đ 86a 104. *Μὴ ὑποσκελίσῃς τὸν ἀδελφόν σου* ‖
καὶ πτώματι αὐτοῦ μὴ ἐπιχαρῇς.
ὁ γὰρ κύριος γινώσκει σὴν καρδίαν
καὶ παραδώσει σε ἐν ἡμέρᾳ θανάτου.

105. *Μοναχὸς φρόνιμος ἀπαθὴς ἔσται,*
ὁ δὲ ἄφρων ἐξαντλήσει κακά.

106. *Ὀφθαλμὸν πονηρὸν ἐκτυφλοῖ κύριος,*
τὸν δὲ ἁπλοῦν ῥύσεται ἀπὸ σκότους.

107. *Ὥσπερ ἑωσφόρος ἐν οὐρανῷ καὶ ὥσπερ φοίνιξ ἐν παρα-*
οὕτως ἐν ψυχῇ πραείᾳ νοῦς καθαρός. [*δείσῳ,*

108. *Ἀνὴρ σοφὸς ἐρευνήσει λόγους θεοῦ,*
ὁ δὲ ἄσοφος καταγελάσεται αὐτῶν.

109. *Ὁ μισῶν γνῶσιν θεοῦ καὶ ἀπωθούμενος θεωρίαν αὐτοῦ*
Λ 56a ℂ 19b *ὅμοιός* ‖ *ἐστι τῷ λόγχῃ νύσσοντι τὴν καρδίαν αὐτοῦ.*

110. *Κρείσσων γνῶσις τριάδος ὑπὲρ γνῶσιν ἀσωμάτων*
καὶ θεωρία αὐτῆς ὑπὲρ λόγους πάντων τῶν αἰώνων.

111. *Πολιὰ γερόντων πραΰτης,*
ζωὴ δὲ αὐτῶν γνῶσις ἀληθείας.

112. *Νέος πραὺς πολλὰ ὑποφέρει,*
ὀλιγόψυχον δὲ γέροντα τίς ὑποίσεται;
εἶδον ὀργίλον γέροντα ἐπαιρόμενον ἐπὶ θρόνου αὐτοῦ,
ἐλπίδα δὲ μέντοι μᾶλλον ἔσχεν ὁ νέος αὐτοῦ.

113. *Ὁ σκανδαλίζων κοσμικοὺς οὐκ ἀτιμώρητος ἔσται,*
F 238b *καὶ ὁ παροξύνων αὐτοὺς ἀτιμάζει τὸ ὄνομα αὐτοῦ.*‖

103 *δος*] *πος* (von anderer Hand darüber geschrieben *δῶς*) Λ | *κατέτριψαν*] *κατέρριψαν* Λ | *αὐτῶν*] *αὐτοῦ* Λ + *ἐν ἐγκρατείᾳ αὐτῶν* F | **104** *καρδίαν* + *καὶ αὐτοῦ* Β | *θανάτου*] *καθαιρέσεως* F | **105** *ἀπαθὴς ἔσται*] *ἐν ἀπαθείᾳ ζήσει* Β | *ἐξαντλήσει*] „wird ertragen" F | **107** *ὥσπερ*[2] < Β | *παραδείσσῳ* Λ | *καθαρός* < F („so ist die demütige Seele mit Verstand versehen") | **108** *αὐτῶν* l] *αὐτόν* Λ *αὐτοῦ* ΒℂĐF | **109** *αὐτοῦ*[1] < l | **110** < ΛΒ | *ὑπὲρ*[1] + *πᾶσαν* F | *ὑπὲρ*[2] + *πάντας* F | **112** *εἶδον — ὁ νέος αὐτοῦ* < Λ | *ἐπὶ*] *ὑπὸ* Β | *θρόνου* ΒℂĐ] *χρόνον* F | *δὲ μέντοι* < Β | **113** *ὁ παροξύνων* (*παροξύνον* HS) *ἀδελφὸν αὐτοῦ ἁμαρτάνει* (*ἁμαρτάνῃ* HS) *εἰς θεόν* Β | *ἀτιμάσει* Λ

114. *Ταράσσοντα ἐκκλησίαν κυρίου ἐξαναλώσει πῦρ,*
ἀνθιστάμενον δὲ ἱερεῖ καταπίεται γῆ.

115. *Ὁ ἀγαπῶν μέλισσαν* ‖ *φάγεται κηρίον αὐτῆς* 𝔇 86b
καὶ ὁ συνάγων αὐτὴν πλησθήσεται πνεύματος.

116. *Τίμα τὸν κύριον καὶ γνώσῃ λόγους ἀσωμάτων,*
καὶ δούλευε αὐτῷ καὶ δείξει σοι λόγους αἰώνων.

117. *Χωρὶς γνώσεως οὐχ ὑψωθήσεται καρδία,*
καὶ δένδρον οὐκ ἀνθήσει ἄνευ ποτοῦ.

118. *Σάρκες Χριστοῦ πρακτικαὶ ἀρεταί,*
ὁ δὲ ἐσθίων αὐτὰς γενήσεται ἀπαθής. ‖ 𝔠 20a

119. *Αἷμα Χριστοῦ θεωρία τῶν γεγονότων*
καὶ ὁ πίνων αὐτὸ σοφισθήσεται ὑπ᾽ αὐτοῦ.

120. *Στῆθος κυρίου γνῶσις θεοῦ,*
ὁ δ᾽ ἀναπεσὼν ἐπ᾽ αὐτὸ θεολόγος ἔσται.

121. *Γνωστικὸς καὶ πρακτικὸς ὑπήντησαν ἀλλήλοις,*
μέσος δὲ ἀμφοτέρων εἱστήκει κύριος.

122. *Ὃς ἐκτήσατο ἀγάπην, ἐκτήσατο θησαυρόν,*
ἔλαβε δὲ χάριν παρὰ κυρίου.

123. *Δόγματα δαιμόνων ἐπιγινώσκει σοφία,*
πανουργίαν δὲ αὐτῶν ἐξιχνιάζει φρόνησις.

124. *Μὴ ἀθετήσῃς δόγματα ἅγια,*
ἃ ἔθεντο οἱ πατέρες σου,
πίστιν δὲ βαπτίσματός σου μὴ ἐγκαταλίπῃς
καὶ μὴ ἀπώσῃ σφραγῖδα πνευματικήν,
ἵνα γένηται κύριος ἐν σῇ ψυχῇ ‖ 𝔄 56b
καὶ σκεπάσῃ σε ἐν ἡμέρᾳ κακῇ.

125. *Λόγοι αἱρετικῶν ἄγγελοι θανάτου,*
καὶ ὁ δεχόμενος αὐτοὺς ἀπολεῖ τὴν ἑαυτοῦ ψυχήν.

114 < 𝔅 | *κυρίου*] *Χριστοῦ* F | **115** < 𝔄 | *μέλισσαν*] pacem l (lies apem) | *κηρίων* 𝔠 F (oder *κηρία* F) | *καὶ ὁ συνάγων — πνεύματος* < 𝔅 | *αὐτὴν* 𝔠 𝔇 *αὐτὰ* F *ψυχὴν* oder *ἑαυτὸν* conj. Holl | *πνεύματος* (aber darübergeschrieben *μέλιτος*) 𝔇] *μέλιτος* 𝔠F | **116** *γνώσῃ — αἰώνων*] *γνῶσιν ἕξεις ἀπ᾽ αὐτοῦ* 𝔅 | **117** *χωρὶς — καὶ* 𝔅 | *καρδία* + *ὥσπερ* F | **119** *σοφισθήσεται ὑπ᾽ αὐτοῦ*] *ζήσεται εἰς τὸν αἰῶνα* 𝔅 | **120** < 𝔅 | *αὐτὸ*] *αὐτῷ* 𝔄 | **121** *μέσον* 𝔅 | *ὁ κύριος* 𝔅 | **122** *ἐκτήσατο*[2]] *εὗρε* 𝔅 | *χάριν* + *μεγάλην* l | *κυρίου*] *θεοῦ* F | **122** *ἔλαβε* — **124** < 𝔅 | **123** *δόγμα* 𝔇 | **124** *ἐγκαταλίποις* 𝔠 | *ἀπώσῃ* + „von dir“ F | *σκεπάσει* 𝔇 | **125** *καὶ* < 𝔄 l | *ὁ* + *δὲ* l

126. *Νῦν οὖν, υἱέ, ἄκουέ μου,*
καὶ μὴ προσέλθῃς θύραις ἀνδρῶν ἀνόμων
𝔇 87a *μηδὲ περιπατήσῃς ἐπὶ ‖ παγίδων αὐτῶν, ἵνα μὴ ἀγρευθῇς.*
ἀπόστησον δὲ σὴν ψυχὴν ἀπὸ γνώσεως ψευδοῦς.
καὶ γὰρ ἐγὼ πλεονάκις λελάληκα πρὸς αὐτούς,
𝔈 20b *σκοτεινοὺς δὲ ‖ λόγους αὐτῶν ἐξιχνίασα,*
καὶ ἰὸν ἀσπίδων εὕρηκα ἐν αὐτοῖς.
οὐκ ἔστι φρόνησις καὶ οὐκ ἔστι σοφία ἐν λόγοις αὐτῶν.
πάντες οἱ δεχόμενοι αὐτοὺς ἀπολοῦνται,
καὶ οἱ ἀγαπῶντες αὐτοὺς πλησθήσονται κακῶν.
εἶδον ἐγὼ πατέρας δογμάτων αὐτῶν
καὶ ἐν τῇ ἐρήμῳ συνέβαλον αὐτοῖς.
ἐχθροὶ γὰρ κυρίου ἀπήντησάν μοι
καὶ δαίμονες ἐν λόγοις ἠγωνίσαντο πρός με·
καὶ οὐκ εἶδον φῶς ἀληθινὸν ἐν ῥήμασιν αὐτῶν.
127. *Ἀνὴρ ψευδόμενος ἐκπεσεῖται θεοῦ,*
ἀπατῶν δὲ τὸν πλησίον αὐτοῦ ἐμπεσεῖται εἰς κακά.
128. *Κρείσσων παράδεισος θεοῦ ὑπὲρ κῆπον λαχανίας*
καὶ ποταμὸς κυρίου ὑπὲρ ποταμὸν μέγαν ἐπισκοτοῦντα
129. *Ἀξιοπιστότερον ὕδωρ οὐράνιον* [*τῇ γῇ.*
ὑπὲρ ὕδωρ Αἰγυπτίων σοφῶν ἀντλούντων ἐκ γῆς.
𝔄 57a 130. *Ὃν τρόπον οἱ τοὺς τροχοὺς ἀναβαίνοντες κάτω ‖ εἰσιν,*
οὕτως οἱ ὑψοῦντες λόγους αὐτῶν τεταπείνωνται ἐν
131. *Σοφία κυρίου ὑψοῖ καρδίαν,* [*αὐτοῖς.*
φρόνησις δὲ αὐτοῦ καθαίρει αὐτήν.
𝔇 87b 132. *Λόγοι προνοίας σκοτεινοὶ καὶ δυσνόητοι κρίσεως θεωρίαι,*
𝔈 21a *ἀνὴρ δὲ ‖ πρακτικὸς ἐπιγνώσεται αὐτούς.*
133. *Καθαίρων ἑαυτὸν ὄψεται φύσεις νοεράς,*
λόγους δὲ ἀσωμάτων ἐπιγνώσεται μοναχὸς πραΰς.
134. *Ὁ κτίσμα λέγων τὴν ἁγίαν τριάδα βλασφημεῖ θεὸν*
καὶ ὁ ἀθετῶν τὸν Χριστὸν αὐτοῦ οὐ γνώσεται αὐτόν.

126 ∾ *υἱέ μου ἄκουε* 𝔅 | *ἀνόμων*] hier schließt 𝔅 | *δὲ*[1] < l | *ψευδοῦς* + „die der gesunden Lehre widerspricht, wie die heilige Schrift sagt“ F | *λελαληκώς* 𝔇 | *αὐτοῖς* + „und“ F | *λόγοις*] *ὁδοῖς* l | *λόγοις αὐτῶν* + „und“ F | *γὰρ*[2] < 𝔈 𝔇 | 128 *κρεῖσσον* 𝔈 | *κυρίου*] *θεοῦ* F | 129 < 𝔄 | 130 *τρόπον* + *γὰρ* 𝔈 F l | *εἰσιν* l] *εἰσίν* 𝔄 𝔈 𝔇 F | *ἐν αὐτοῖς* < l | 131 *καθαίρει*] *ταπεινοῖ* F | 133 *καὶ καθαίρων* F | *πραΰς*] hier schließt 𝔄 | 134 *θεὸν* < F | *αὐτοῦ* < F

135. *Κόσμων θεωρίαι πλατύνουσι καρδίαν.*
λόγοι δὲ προνοίας καὶ κρίσεως ὑψοῦσιν αὐτήν.
136. *Γνῶσις ἀσωμάτων ἐπαίρει τὸν νοῦν*
καὶ τῇ ἁγίᾳ τριάδι παρίστησιν αὐτόν.
137. *Μέμνησθε τοῦ δεδωκότος ὑμῖν ἐν κυρίῳ σαφεῖς παροιμίας,*
καὶ μὴ ἐπιλάθησθε τῆς ταπεινῆς μου ψυχῆς ἐν καιρῷ προσευχῆς.

135 *κρίσεως* + *μελλούσης* F | **137** ∾ *μέμνησθε ἐν κυρίῳ* F | *ἡμῖν* D | *ταπεινῆς* < F.

(Fortsetzung von der zweiten Umschlagseite.)

Eusebius. Das Onomastikon der biblischen Ortsnamen, mit der lateinischen Übersetzung des Hieronymus. Hrsg. von E. Klostermann. Mit Einleitung, doppeltem Register und einer Karte von Palästina. (15 3/8 Bogen.) 1904. [Eusebius Bd. III, 1] M. 8 —

— Die Theophanie. Die griechischen Bruchstücke und Übersetzung der syrischen Überlieferung. Hrsg. von H. Gressmann. Mit Einleitung u. vierf. Reg. (15 5/8 Bg.). 1904. [Eusebius Bd. III, 2] M. 9.50

— Gegen Marcell. Über die kirchliche Theologie. Die Fragmente Marcells. Herausgegeben von Erich Klostermann. Mit Einleitung und dreifachem Register. (18 Bogen.) 1906. [Eusebius Bd. IV] M. 9 —

— Die Chronik. Aus dem Armenischen übersetzt. Herausgegeben von Josef Karst. (23 1/2 Bogen). 1911. [Eusebius Bd. V] M. 15 —

— Die Demonstratio evangelica. Herausgegeben von Ivar A. Heikel. Mit Einleit. und vierf. Register. (38 7/8 Bogen). [Eusebius Bd. VI] M. 20 —

Hegemonius. Acta Archelai. Herausgegeben von Charles Henry Beeson. Mit Einleitung und vierfachem Register. (11 7/8 Bogen). 1906. M. 6 —

Buch Henoch. Herausgeg. von Joh. Flemming und L. Radermacher. Mit Einleitung und vierfachem Register. (11 1/4 Bogen). 1901. *M. 5.50

Hippolyt. Kommentar zum Buche Daniel und die Fragmente des Kommentars zum Hohenliede. Herausgeg. v. G. N. Bonwetsch. — Kleine exegetische und homiletische Schriften. Herausgegeben von H. Achelis. (25 3/4 u. 20 Bogen). 1897. [Hippolytus Bd. I] M. 18 —

Koptisch-gnostische Schriften. Die Pistis Sophia. Die beiden Bücher des Jeû. Unbekanntes altgnostisches Werk. Herausgegeben von Carl Schmidt. Mit Einleitung und dreifachem Register. (27 1/2 Bogen). 1905. [Koptisch-gnostische Schriften Bd. I] M. 13.50

Oracula Sibyllina. Bearbeitet von Joh. Geffcken. Mit Einleitung und doppeltem Register. (18 1/2 Bogen). 1902. M. 9.50

Origenes. Schrift vom Martyrium (exhortatio). — Die acht Bücher gegen Celsus. — Die Schrift vom Gebet (de oratione). Herausgegeben von P. Koetschau. Mit Einleitung und dreifachem Register. (29 2/8 und 34 5/8 Bogen). 1899. [Origenes Bd. I/II] M. 28 —

— Jeremiahomilien. — Klageliederkommentar. — Erklärung der Samuel- und Königsbücher. Hrsg. v. E. Klostermann. Mit Einleitung und dreif. Reg. (25 1/4 Bogen). 1901. [Origenes Bd. III] M. 12.50

— Der Johanneskommentar. Herausgeg. von E. Preuschen. Mit Einleitung u. vierf. Reg. (48 1/2 Bogen). 1903. [Origenes Bd. IV] M. 24.50

— De principiis (*Περὶ ἀρχῶν*). Herausgegeben von P. Koetschau. Mit Einleitung und dreifachem Register. (36 1/2 Bogen). [Origenes Bd. V] M. 20 —

Philostorgius Kirchengeschichte. Mit dem Leben des Lucian von Antiochien und den Fragmenten eines arianischen Historiographen. Herausgegeben von Joseph Bidez. Mit Einleitung u. fünffachem Register. (31 7/8 Bogen). 1913. M. 16 —

Theodorets Kirchengeschichte. Herausgeg. von Léon Parmentier. (33 5/8 Bogen). 1911. M. 17 —

Gebunden in geschmackvolle Halbfranzbände je M. 2.50 mehr.

*Vorläufig nur in Interimskartonage zu 50 Pf.; Eusebius III 1/2 in 1 Band gebunden.

Im Druck befindet sich:

Hippolyt's Philosophumena bearbeitet von P. Wendland, Göttingen.

In Vorbereitung ist:

Epiphanius bearbeitet von K. Holl in Berlin.

Leipzig. J. C. Hinrichs'sche Buchhandlung.

TEXTE UND UNTERSUCHUNGEN

ZUR GESCHICHTE DER

ALTCHRISTLICHEN LITERATUR

ARCHIV FÜR DIE VON DER KIRCHENVÄTER-COMMISSION

DER KGL. PREUSSISCHEN AKADEMIE DER WISSENSCHAFTEN UNTERNOMMENE

AUSGABE DER ÄLTEREN CHRISTLICHEN SCHRIFTSTELLER

HERAUSGEGEBEN VON

ADOLF HARNACK UND CARL SCHMIDT

DRITTE REIHE, NEUNTER BAND, HEFT 4

DER GANZEN REIHE XXXIX, 4

LEIPZIG

J. C. HINRICHS'SCHE BUCHHANDLUNG

1913

BQ
25
.T3

THE INSTITUTE OF MEDIAEVAL STUDIES
59 QUEEN'S PARK CRESCENT
TORONTO — 5, CANADA

VOL 38-39

(1912 - 1913).